Ἀπολυτίκιον

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Μεγαρίδος τόν γόνον καὶ Ἀσκητῶν ἐγκαλλώπισμα, τῆς Μονῆς φρουρόν Σαλαμῖνος τόν Λαυρέντιον ὑμνήσωμεν ἅπαντες, ἐν ὕμνοις συμφώνως οἱ πιστοί, βοῶντες πρός αὐτόν εἰλικρινῶς. Σαῖς λιταῖς τὴν σὴν πόλιν καὶ τὴν Μονήν σου Πάτερ διαφύλαττε. Δόξα τῷ σέ δοξάσαντι Θεῷ, Δόξα τῷ σέ θαυμαστώσαντι, Δόξα τῷ δωρησαμένῳ σέ ἡμῖν, πρέσβυν ἀκοίμητον.





Ὁ ΚΑΝώΝ

Εἰς τὸ ὄνομα
τοῦ Πατρός
καὶ τοῦ Υἱοῦ
καὶ τοῦ Ἁγίου Πνεύματος.
Ἀμήν.

Ψαλμός ΡΜΒ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή

μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμί.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς βοηθὸς καὶ πρεσβευτὴς πρὸς τὸν Κτίστην, τῶν προσιόντων τῇ θερμῇ σου πρεσβείᾳ, καὶ προσκυνούντων τὴν σεπτὴν Εἰκόνα σου, πάσης ἀπολύτρωσαι, ἐπηρείας καὶ βλάβης, Ὅσιε Λαυρέντιε, καὶ παθῶν καὶ κινδύνων, καὶ τὴν σὴν σκέπην Πάτερ τὴν σεπτήν, μὴ ἀντανέλῃς, ἀεὶ ἐκ τῆς ποίμνης σου.

Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμὸς Ν΄ (50)

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώμα-

τα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ὁ κανὼν οὗ ἡ ἀκροστιχίς·
Σὺ εἶ Λαυρέντιε ἡμῶν φύλαξ, Γερασίμου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Στεφάνῳ τῆς δόξης τῆς θεϊκῆς, κοσμούμενος Πάτερ, καθικέτευε ἐκτενῶς, παθῶν ἐκλυτροῦσθαι ἀδοξίας, τοὺς τῇ σῇ σκέπῃ Λαυρέντιε σπεύδοντας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑψόθεν μὴ παύσῃ περισκοπῶν, ταύτην τὴν Μονήν σου, συμπαθείᾳ σου πατρικῇ, καὶ ταύτης μακρὰν ἀποδιώκων, τὰ τοῦ Βελίαρ Λαυρέντιε σκάνδαλα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἐλλάμψει τῶν θείων σου πρεσβειῶν, παθῶν τὴν ὁμίχλην, καὶ τόν ζόφον τῶν ὀδυνῶν, Λαυρέντιε λῦσον καὶ παράσχου, φῶς ταῖς ψυχαῖς ἡμῶν Πάτερ οὐράνιον.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἱκέτευε Πάτερ διὰ παντός, τὴν Ἄχραντον Κόρην, ὡς θεράπων ταύτης πιστός, διδόναι τῆς χάριτος τὰ δῶρα, τῇ ἱερᾷ ταύτης Μάνδρᾳ ἑκάστοτε.

Ὠδὴ γ΄. Οὐρανίας ἀψίδος.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λαμπρυνόμενος φέγγει, τῷ νοητῷ Ὅσιε, λάμπρυνον ἡμῶν τὰς καρδίας, φωτὶ τῆς χάριτος,

ταῖς φωτοφόροις σου, πρὸς τὸν Χριστὸν ἱκεσίαις, καὶ πταισμάτων αἴτησαι, ἡμῖν συγχώρησιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνωτέρους ἀπάσης, τοῦ δυσμενοῦς φύλαττε, Πάτερ ἐπηρείας καὶ βλάβης, τοὺς καταφεύγοντας, τῇ ἀντιλήψει σου, καὶ δίδου τούτοις εἰρήνην, καὶ βίου βελτίωσιν, μάκαρ Λαυρέντιε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὑπερμάχει ἀπαύστως, τῆς σῆς Μονῆς Ἅγιε, τῆς ὡς θησαυρὸν κεκτημένης, τὴν θείαν κάραν σου, τὰς κατ' αὐτῆς χαλεπάς, ἀεὶ βουλὰς ἀποτρέπων, τῇ θερμῇ πρεσβείᾳ σου, Πάτερ πρὸς Κύριον.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ῥήσεσί σου ὑπείκων, πίστει θερμῇ Ἄχραντε, εὔρατο τὴν σὴν παναγίαν, Εἰκόνα Δέσποινα, ὁ σὸς Λαυρέντιος, ὡς θησαυρὸν κεκρυμμένον οὗ λιταῖς διάσωζε, ταύτην τὴν Μάνδραν σου.

Πρὸς τὸ Διάσωσον.

Διάσωσον πάσης ἀνάγκης Λαυρέντιε θεοφόρε, τούς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, ὡς παῤῥησίαν πρὸς Κύριον κεκτημένος.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β'. Πρεσβεία θερμή.

Δοξάσας Χριστόν, ἐπὶ τῆς γῆς Λαυρέντιε, καὶ δόξης τυχών, ἐν οὐρανοῖς τῆς κρείττονος, αὐτὸν ἀεὶ

ἱκέτευε, γεηρῶν φρονημάτων καὶ θλίψεων, καὶ πταισμάτων καὶ νόσων δεινῶν, λυτροῦσθαι ἡμᾶς τοὺς σὲ γεραίροντας.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν τῇ σῇ Πάτερ χάριτι, καὶ τῇ προσδοκίᾳ τῆς προστασίας σου καυχωμένη πάσης θλίψεως, ἡ πληθὺς πιστῶν ἀπαύστως ῥύεται.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νοσημάτων ἀπάλλαξον, τῶν κατὰ ψυχὴν καὶ σῶμα Λαυρέντιε, τοὺς προσπίπτοντας τῇ κάρᾳ σου, τῇ χαριτωθείσῃ θείῳ Πνεύματι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τοῦ ἐχθροῦ τὰ ὁρμήματα, τοῦ κατὰ τῶν δούλων σου ἐπιπίπτοντος, κατασύντριψον Λαυρέντιε, τῇ σοὶ δεδομένῃ Πάτερ χάριτι.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἱερὸν φροντιστήριον, τῇ Μητρὶ τοῦ Λόγου ἀνέθου Ἅγιε, ἣν δυσώπει ταῖς ψυχαῖς ἡμῶν, δοῦναι οὐρανίαν θείαν ἔλλαμψιν.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπίδε σοφέ, πατρικῷ ἱλέῳ ὄμματι, τοὺς προστρέχοντας τῇ σκέπῃ σου πιστῶς, καὶ παράσχου τούτοις Πάτερ τὰ αἰτήματα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἤνυσας στερρῶς, τοὺς ἀγῶνας τῆς ἀσκήσεως· ἔνθεν δίδου καὶ ἡμῖν ταῖς σαῖς λιταῖς, ἰσχὺν Πάτερ, θεοφρόνως πολιτεύεσθαι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Μέγαν ἀρωγόν, κεκτημένοι σε Λαυρέντιε, ἐκ μεγάλων συμφορῶν καὶ πειρασμῶν, τῇ μεγίστῃ σου πρεσβείᾳ ἐκλυτρούμεθα.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ὤφθης μυστικῶς, Λαυρεντίῳ τῷ θεόφρονι, Θεοτόκε καὶ ἐνέπλησας αὐτόν, εὐφροσύνης καὶ φωτὸς τοῦ ὑπὲρ ἔννοιαν.

Ὠδή στ΄. Τὴν δέησιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ναμάτων, τῶν μυστικῶν θεοφόρε, ἡμῖν ὄμβρησον ῥανίδας ὑψόθεν, καὶ τῶν παθῶν ἡμῶν σβέσον τὴν φλόγα, καὶ τὴν διψῶσαν ψυχὴν ἡμῶν πότισον, ἵνα βλαστήσῃ τῷ Χριστῷ ἀρετῶν τὰ ὡραῖα βλαστήματα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Φωτὶ μέν, τῶν ἱερῶν πρεσβειῶν σου, ἀποδίωξον ἐχθρὸν τὸν ζοφώδη, τὸν καθ' ἡμῶν ὠρυόμενον Πάτερ, τῷ δὲ πυρὶ τῆς ἐν σοὶ θείας χάριτος, πρὸς ἀρετῶν ἡμῶν τὸν νοῦν, ἐργασίαν σωτήριον θέρμανον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὑψίστου, θεράπων ὅσιος ὤφθης, τῇ ἁγίᾳ σου ζωῇ θεοφόρε· διὸ ἡμᾶς ἐναγῶν φρονημάτων, καὶ ἐννοιῶν ἀκαθάρτων ἀπάλλαξον, Λαυρέντιε θαυματουργέ, διεγείρων ἡμᾶς πρὸς τὰ κρείττονα.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Λυχνία, χρυσοειδὴς θείας δόξης, Θεοτόκε Ἀειπάρθενε Κόρη, τῆς μητρικῆς σου ἀεὶ προμηθείας, τὰς δαψιλεῖς χορηγίας πρυτάνευε,

ταύτῃ τῇ Μάνδρᾳ σου Ἀγνή, ἣν ὁ θεῖος Λαυρέντιος ἵδρυσε.

Πρὸς τὸ Διάσωσον.

Διάσωσον πάσης ἀνάγκης Λαυρέντιε θεοφόρε, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, ὡς παῤῥησίαν πρὸς Κύριον κεκτημένος.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Ταῖς σαῖς πρεσβείαις Λαυρέντιε Ὅσιε, πάσης ἀνάγκης καὶ θλίψεως λύτρωσαι, τοὺς πίστει καὶ πόθῳ προσπίπτοντας, τῇ ἱερᾷ σου Εἰκόνι ἑκάστοτε, ἐξ ἧς χάρις ἄφθονος πρόεισι.

Προκείμενον. Ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος: Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον. (ια' 27 - 30)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἦχος πλ. β΄. Ὅλην ἀποθεμένοι.
Στίχος: Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, καὶ κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τό ἀνόμημά μου.

Ὅλος ἐνθεώτατος, ὑστέροις χρόνοις ὡράθης, βίον τόν ἰσάγγελον, βιοτεύσας Ὅσιε πόθῳ κρείττονι· νῦν ζωῆς μέτοχος, τῆς ἐπουρανίου, χρηματίζων καὶ θεούμενος, θείαις μεθέξεσι, πρέσβευε ἀπαύστως δεόμεθα, Λαυρέντιε μακάριε, ῥύεσθαι δεινῶν περιστάσεων, καὶ παθῶν ποικίλων, καὶ πάσης ἐν τῷ βίῳ συμφορᾶς, τούς εὐλαβῶς καταφεύγοντας, ταῖς σαῖς ἀντιλήψεσι.

Ὁ ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

ὨΙδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἀσθενοῦσαν ὡς πάλαι, τὴν γυναῖκα ἰάσω ταῖς ἱκεσίαις σου, καὶ νῦν συνεχομένους, ἡμᾶς ποικίλοις πόνοις, θεραπείας ἀξίωσον, ταῖς πρὸς Χριστόν σου λιταῖς, Λαυρέντιε τρισμάκαρ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ξενοτρόπως τὸ βλέπειν, ἐχαρίσω θεόφρον τῷ πηρωθέντι ποτέ· καὶ νῦν ἡμῶν τὰς κόρας, τὰς

τῆς ψυχῆς εὐχαῖς σου, θεοφόρε διάνοιξον, τοῦ βηματίζειν ὀρθῶς, τὰς τρίβους τοῦ Κυρίου.

Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Γνώμη Πάτερ τελείᾳ, τὸν ἐλθόντα ἰάσω δαιμόνων μάστιγος· καὶ νῦν ἡμᾶς μανίας, πνευμάτων ἀκαθάρτων, ἀπολύτρωσαι Ἅγιε, καὶ τῶν πταισμάτων ἡμῖν τὴν ἄφεσιν ἐξαίτει.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἐπιστᾶσα Παρθένε, Λαυρεντίῳ τῷ θείῳ ὥσπερ ἠθέλησας, αὐτῷ ἀποκαλύπτεις, τὸν πάλαι σεπτὸν οἶκον, τῆς σῆς δόξης Πανάχραντε, ὃν σοι ἐν πίστει θερμῇ, ἐδείματο καὶ αὖθις.

Ὠδὴ η΄. Τὸν Βασιλέα.
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥάβδω θεόφρον, τῆς πατρικῆς ἀρωγῆς σου, καθοδήγησον πρὸς τρίβον σωτηρίας, τοὺς ἐπιζητοῦντας, τὴν σὴν ἐπιστασίαν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀρωματίζει, τοῦ Παρακλήτου τὴν χάριν, ἡ μυρίπνοος κάρα σου θεοφόρε, καὶ ἀποδιώκει, παθῶν δυσώδη βλάβην.

Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Σθένος παράσχου, τοῖς κατὰ γνώμην νοσοῦσιν, ὡς ἂν Ὅσιε προθύμῳ διανοίᾳ, βαίνωμεν ταῖς τρίβοις, ζωῆς τῆς αἰωνίου.

Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἴσχυσε Κόρη, τῇ κραταιᾷ χάριτί σου, δυναμούμενος Λαυρέντιος ὁ θεῖος, τοῦ ἐχθροῦ συντρίψαι, τὴν ὀλεθρίαν κάραν.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μονὰς τὰς οὐρανίους, κατοικῶν θεόφρον, τὴν ἱεράν σου Μονὴν ἀεὶ φύλαττε, ἐξ ἐπηρείας ἁπάσης Πάτερ Λαυρέντιε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὀδύνης κατὰ σῶμα, ῥῦσαι θεοφόρε, καὶ ψυχικῶν συντριμμάτων πρεσβείαις σου, τοὺς προσιόντας ἐν πίστει τῇ προστασίᾳ σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὑφέρπων μοι δολίως, συστροφάς μοι πλέκει, ὁ ἀρχηγὸς τῆς κακίας Λαυρέντιε, ἀλλὰ σὺ Πάτερ τῆς τούτου μανίας ῥῦσαί με.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ὑπέραγνε Μαρία, Μῆτερ τοῦ Ὑψίστου, χαμαιπετῶν νοημάτων με λύτρωσαι, καὶ πρὸς ὑψώσεις ἁγίας τὸν νοῦν μου ὕψωσον.

Εἶτα·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίρων ἠγωνίσω ἀσκητικῶς, ἐν ὑστέροις χρόνοις, ἐν φρονήματι ταπεινῷ· ὅθεν ἀνυψώθης, πρὸς δόξαν τὴν ἀγήρω, Λαυρέντιε παμμάκαρ, Ἀγγέλων σύσκηνε.

Ὤφθη ἐπαλλήλως σοι ἡ Ἁγνή, Μήτηρ τοῦ Κυρί-

ου, φανεροῦσα πᾶσι σαφῶς, τὸν ἐγκεκρυμμένον, ἐν τῇ ψυχῇ σου πλοῦτον, ἧς Πάτερ ἀνεδείχθης, θεῖος διάκονος.

Εἰκών οὐρανίῳ Πάτερ ὁμφῇ, ἔπλευσας πρὸς νῆσον Σαλαμῖνος, τρόπῳ καινῷ, καὶ τῆς Θεοτόκου, Λαυρέντιε ἐγείρεις, τὴν πάλαι Μονὴν πλείστοις, πόνοις καὶ σκάμμασι.

Χαίρει Μεγαρέων πόλις ἡ σή, πατρὶς θεοφόρε, Σαλαμὶς δὲ πλέον αὐτῆς, γάνυται ὁσίως, ὡς καθαγιασθεῖσα, τοῖς θείοις σου ἱδρῶσι, Πάτερ Λαυρέντιε.

Δίδου πατρικῇ σου θείᾳ χειρί, Λαυρέντιε Πάτερ, τοῖς τιμῶσί σε εὐλαβῶς, τῆς σῆς προστασίας, τὰς δόσεις τὰς ἁγίας, καὶ σκέπε ἡμᾶς πάσης ἐναντιότητος.

Πάντας τοὺς προστρέχοντας εὐλαβῶς, τῇ σῇ ἀντιλήψει, πάσης ῥύου ἐπιβουλῆς, καὶ ὑγείαν δίδου, ψυχῶν τε καὶ σωμάτων, καὶ ἄφεσιν πταισμάτων, ἡμῖν Λαυρέντιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός,
Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γ΄)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν, Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
Και νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς μνημονεύει τῶν ὑπὲρ ὧν
ἡ Παράκλησις. Εἶτα ἐκτενής, καὶ ἀπόλυσις·
καὶ τά παρὸντα τροπάρια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου Σὲ νεκρόν.

Ἔχων παῤῥησίαν πρὸς Χριστόν, ὡς αὐτὸν δοξάσας ἐν κόσμῳ, βίου λαμπρότητι, Ὅσιε Λαυρέντιε, Ἀγγέλων σύσκηνε, σὺν αὐτοῖς καθικέτευε, πταισμάτων καὶ νόσων, καὶ παθῶν καὶ θλίψεων, καὶ περιστάσεων, πάντας ἡμᾶς ῥύεσθαι Πάτερ, τοὺς εἰλικρινῶς προσιόντας, τῇ συμπαθεστάτῃ προστασίᾳ σου.

Ἦχος πλ. δ΄.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β΄.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

Δίστιχον.
Παθῶν τε Λαυρέντιε καὶ πόνων ῥύου
Γεράσιμον φέροντα τήν δε σοι οἴμην.